Fragments on Human Physis by Phrynichus the Comic Poet of Athens

1-5 *ΕΦΙΑΛΤΗΣ*

1 ὄνομα δέ τῳ τοῦτ’ ἦν ἔσωθεν γῆν τε μὴ
ἔστω φιάλτης ἀνδραγαθίας οὕνεκα,
ἔτι ἐπιαλὰς χρηστὰ λε ἀπωλόμην.

2 οὐ τουτονὶ μέντοι σὺ κιθαρίζειν ποτὲ
αὐλεῖν τ’ ἐδίδαξας;

3 ἔστιν δ’ αὐτούς γε φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον.
ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις,
μισάνθρωπον ἄνθος ἥβης·
εἶθ’ ἡδυλογοῦσιν ἅπασιν ἀεὶ κατὰ τὴν ἀγορὰν περιόντες.
ἐπὶ τοῖς βάθροις ὅταν ὦσιν, ἐκεῖ τούτοις οἷς ἡδυλογοῦσιν
μεγάλας ἀμυχὰς καταμύξαντες καὶ συγκύψαντες ἅπαντες
γελῶσιν.

5 ἀργυροκόπος

6-8 *ΚΟΝΝΟΣ*

6 τί δαί; τὸν ἐνεργμόν

7 δεῦρ’ ἀεί

8 ἀμάθητος

9-13 *ΚΡΟΝΟΣ*

9 ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά.
βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα;

10 ἄγαμαι, Διονύσου στόματος, ὡς σεσέλλισαι.

13 ἀλεκτρυοπώλιον

14-17 *ΚΩΜΑΣΤΑΙ*

14 ἐγὼ δὲ νῷν δὴ τερετιῶ τι πτιστικόν.

15 εἶτα κεραμεύων ἂν οἴκοι σωφρόνως Χαιρέστρατος
ἑκατὸν ἂν τῆς ἡμέρας ἔκλαιεν οἴνου κανθάρους.

18-30 *ΜΟΝΟΤΡΟΠΟΣ*

18 ὄνομα δέ μοὔστι Μονότροπος ....
..... ζῶ δὲ Τίμωνος βίον,

ἄγαμον, ἄδουλον, ὀξύθυμον, ἀπρόσοδον,
ἀγέλαστον, ἀδιάλεκτον, ἰδιογνώμονα.

19 τηλικουτοσὶ γέρων
ἄπαις ἀγύναικος.

20 μεγάλους πιθήκους οἶδ’ ἑτέρους τινὰς λέγειν,
Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην.
Β. ἀνωμάλους εἶπας πιθήκους ...
ὁ μέν γε δειλός, ὁ δὲ κόλαξ, ὁ δὲ νόθος ...

21 **Α.** τίς δ’ ἔστιν ὁ μετὰ ταῦτα φροντίζων; **Β.** Μέτων,
ὁ Λευκονοιεύς. **Α.** οἶδ’, ὁ τὰς κρήνας ἄγων.

22 .. ἀλλ’ ὑπερβέβληκε πολὺ τὸν Νικίαν
στρατηγίας πλήθει τε κἀξευρήμασιν.

23 ὁ δ’ ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

24 ἔπειτ’ ἐπειδὰν τὸν λύχνον κατακοιμίσῃ—

25 κἀντραγεῖν σικύδιον

27 ἀρτοποπεῖν

28 γναθοῖ

29 θηλάζει

31-35 *ΜΟΥΣΑΙ*

31 μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας·
καλῶς δ’ ἐτελεύτησ’ οὐδὲν ὑπομείνας κακόν.

32 ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ’ ἀπολλὺς ὁδί.

33 ὦ κάπραινα καὶ περίπολις καὶ δρομάς

34 κἀν ὀξυβάφῳ χρῆσται τρεῖς χοίνικας ἢ δύ’ ἀλεύρων.

35 πηλαμύς

36-37 *ΜΥΣΤΑΙ*

36 μάστιγα δ’ ἐν χεροῖν ἔχων ἐτεύτασεν.

37 ἐβουλόμην ἂν ἥμιν ὥσπερ καὶ προτοῦ

38-43 *ΠΟΑΣΤΡΙΑΙ*

38 αὐτοπυρίταισί τ’ ἄρτοις καὶ λιπῶσι στεμφύλοις

39 ὥσπερ ἐμὸν αὐτῆς ἴδιον

40 κύλικ᾽ ἀρύστιχον

43 χοιροτροφεῖον

44-49 *ΣΑΤΥΡΟΙ*

45 Κορκυραῖαι δ᾽ οὐδὲν ...
ἐπιβάλλουσιν μάστιγες.

46 βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

48 κεκτημένον

50-57 *ΤΡΑΓΩΙΔΟΙ Η ΑΠΕΛΕΥΘΕΡΟΙ*

50 ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι

51 περιστέριον δ᾽ αὐτῷ τι λαβὲ τριωβόλου.

52 σὺ δὲ τιμιοπώλης ὡς Ἀχιλλεὺς οὐδὲ εἷς.

53 τὸν Κλεόμβροτόν τε τοῦ
Πέρδικος υἱόν

54 αἰτίαν ἔχει
πονηρὸς εἶναι τὴν τέχνην.

55 τῇ διαθέσει τῶν ἐπῶν

56 καὶ τέμαχος αὔξιδος

57 ἡδὺ δ᾽ ἀποτηγανίζειν ἄνευ συμβολῶν.

58-79 *ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ*

58 ὦ φίλταθ᾽ Ἑρμῆ, καὶ φυλάττου, μὴ πεσὼν
σαυτὸν παρακρούσῃ καὶ παράσχῃς διαβολὴν
ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν τι δρᾶν.
Ἑρμῆς φυλάξομαι. Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ. 5

59 ἦν γὰρ πολίτης ἀγαθός, ὡς εὖ οἶδ᾽ ἐγώ,
κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

60 ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον.

61 ἢ μαζίου τι μικρὸν ἢ κολοκυντίου

62 ἔμει καταμηλῶν· φλέγματος γὰρ εἶ πλέως.

63 τριώβολόν γ᾽ ὅσουπερ ἡλιάζομαι.

64 πολὺς δὲ συβαριασμὸς αὐλητῶν τότ᾽ ἦν.

65 οὐ γλύξις οὐδ᾽ ὑπόχυτος, ἀλλὰ Πράμνιος.

66 ἑπτάκλινος οἶκος ἦν καλός,
εἶτ᾽ ἐννεάκλινος ἕτερος οἶκος.

67 ἦσαν δὲ καὶ γυναῖκες ἀφήλικες.

68 τοὺς δὲ γομφίους
ἅπαντας ἐξέκοψεν, ὥστ᾽
οὐκ ἂν δυναίμην Ναξίαν
ἀμυγδάλην κατᾶξαι.

69 καὶ νιγλάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν,
ἄνθρωπος ὢν ὑδατοπότης, μινυρὸς ὑπερσοφιστής,
Μουσῶν σκελετός, ἀηδόνων ἠπίαλος, ὕμνος Ἅιδου.

70 ἃ δ᾽ ἀνάγκα ᾽σθ᾽ ἱερεῦσιν καθαρεύειν φράσομεν.

73 ἐπήκοος γενοῦ

74 μισθώτριαι αἱ γυναῖκες

75 ἀπόβλεμμα

76 αὐχμᾷς

77 τὴν κοιλοφθαλμίαν

78 μελλονύμφιος

79 νωδός

80-95 *ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ*

80 ὦ φίλτατ᾽ ἀνδρῶν, μή μ᾽ ἀτιμάσας γένῃ.

81 ἐγὼ δέ, μισεῖ γάρ μ᾽, ἄπειμ᾽ ἐξ ὀμμάτων.

82 ἀθύρωτον στόμα

83 ἀκίβδηλος ἀνήρ

84 ἄκομψον καὶ φαῦλον

85 ἀκρατὴς γάμων

86 ἀκροτελεύτιον ἔπος

87 ἀγῆλαι

88 ἀκροσφαλές

89 ἄνοις

90 ἴδριδες

91 σφηκῶσαι

92 τριάκοντα

93 φανόν

94 ψέλια

95 ψόθος